παραβαλὼν εὐθύς

> ʽαἰσχρὸν τό γ᾽ αἰσχρόν, κἂν δοκῇ κἂν μὴ δοκῇ᾽,

ὁ δὲ Κλεάνθης ⟨τὸ⟩ περὶ τοῦ πλούτου (Eur. El. 428)

> ʽφίλοις τε δοῦναι σῶμά τ᾽ εἰς νόσους πεσόν
> δαπάναισι σῶσαι᾽

μεταγράφων οὕτω

> ʽπόρναις τε δοῦναι σῶμά τ᾽ εἰς νόσους πεσόν
> δαπάναις ἐπιτρῖψαι.᾽

καὶ ὁ Ζήνων (fr. 219) ἐπανορθούμενος τὸ τοῦ Σοφοκλέους (fr. 789)

> ʽὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται, D
> κείνου ᾽στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ᾽

μετέγραφεν

> ʽοὐκ ἔστι δοῦλος, ἂν ἐλεύθερος μόλῃ᾽,

τῷ ἐλευθέρῳ νῦν συνεκφαίνων τὸν ἀδεῆ καὶ μεγαλόφρονα καὶ ἀταπείνωτον. τί δὴ κωλύει καὶ ἡμᾶς ταῖς τοιαύταις ὑποφωνήσεσι τοὺς νέους ἀποκαλεῖν πρὸς τὸ βέλτιον, οὕτω πως χρωμένους τοῖς λεγομένοις;

> ʽτόδ᾽ ἐστὶ τὸ ζηλωτὸν ἀνθρώποις, ὅτῳ
> τόξον μερίμνης εἰς ὃ βούλεται πέσῃ.᾽ (Tr. adesp. 354)

οὐκ, ἀλλ᾽ ʽὅτῳ

> τόξον μερίμνης εἰς ὃ συμφέρει πέσῃ.᾽

τὸ γὰρ ἃ μὴ δεῖ βουλόμενον λαβεῖν καὶ τυγχάνειν οἰκτρόν ἐστι καὶ ἄζηλον. καί (Eur. Iph. A. 29)

> ʽοὐκ ἐπὶ πᾶσίν σ᾽ ἐφύτευσ᾽ ἀγαθοῖς, E
> ᾽Αγάμεμνον, ᾽Ατρεύς.
> δεῖ δέ σε χαίρειν καὶ λυπεῖσθαι.᾽

μὰ Δία, φήσομεν, ἀλλὰ δεῖ σε χαίρειν, μὴ λυπεῖσθαι τυγχάνοντα μετρίων·